Test exercise Four C-D *Grammar and Exercises* book, p. 90-91

ξένος δέ τις τρέχων τυγχάνει εἰς τὸ Ἡράκλειον ἱερόν.

A foreigner happens to be running into the sanctuary of Hercules.

καὶ δῆλός ἐστιν ὁ ξένος δεινόν τι πάσχων, ἐπειδὴ ταχέως προσέρχονται ἄνδρες τινές, διώκοντες αὐτόν.

The stranger is obviously suffering something terrible, because some men are coming quickly, pursuing him.

ὁ δὲ ξένος φθάνει τοὺς διώκοντας εἰς τὸ ἱερὸν φεύγων, ἐγγὺς ὄν.

The stranger flees ahead of the pursuers into the sanctuary, since it's near.

ἀφικνοῦνται δὲ οἱ διώκοντες καὶ ἐρωτῶσι τὸν ῥαψῳδὸν ποῦ τυγχάνει ὢν ὁ ξένος.

But the pursuers arrive and ask the rhapsode where the stranger happens to be.

δῆλον γὰρ ἐστιν ὅτι ὁ ξένος οὐ λανθάνει τὸν ῥαψῳδὸν ἀποφεύγων.

For it is clear that the stranger does not escape the rhapsode's notice as he is fleeing.

ἐπειδὴ δὲ οἱ διώκοντες ὁρῶσιν αὐτὸν ἐν τῷ ἱερῷ ὄντα, ἀπάγουσι, καίπερ βοῶντα καὶ τοὺς θεοὺς ἐπικαλούμενον.

And when the pursuers see him in the sanctuary, they take him away, although he is shouting and calling upon the gods.

καὶ ὁ μὲν ξένος οὐ παύεται ὀλοφυρόμενος καὶ δηλῶν τί πάσχει, ὁ δὲ ῥαψῳδὸς καὶ ὁ Δικαιόπολις ἡσυχάζουσι, φοβούμενοι τοὺς ἕνδεκα.

And while the stranger does not stop lamenting and making known what he is suffering, the rhapsode and Dikaiopolis keep quiet, fearing the police commissioners.

οὕτως οὖν ἥ τε ἀνομία καὶ ἡ ἀσέβεια γίγνονται ἐν τῇ τῶν Ἀθηναίων πόλει.

So in this way, lawlessness and impiety come to pass in the city of Athens.

1. Give the gender, number and case of the following participles:
    a. τρέχων (line 1)
        i. masculine singular nominative
    b. διώκοντες (line 3)
        i. masculine plural nominative
    c. ὄν (line 4)
        i. neuter singular accusative
    d. φοβούμενοι (line 9).
        i. masculine plural nominative
2. Give the person and number (e.g. 3 pl.) of the following verbs:
    a. προσέρχονται (line 2)
        i. 3 pl
    b. ἐρωτῶσι (line 4)
        i. 3 pl
    c. λανθάνει (line 5)

i. 3 sing

d. ἡσυχάζουσι (line 9)

i. 3 pl